# Ζ΄. ΑΙΛΙΑΝΟΥ.

Ὁ Αἰλιανὸς Ῥωμαῖος τὸ γένος, ἔζη κατὰ τὸν τρίτον αἰῶνα μ. Χ. ἔγραψε δὲ ἑλληνιστὶ δύω συγγράμματα, τὸ ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ καὶ τὴν ΠΟΙΚΙΛΗΝ ΙΣΤΟΡΙΑΝ, συλλογὴν διαφόρων ἱστορικῶν ἀνεκδότων, ἐκ τῶν ὁποίων ἐρανιζόμεθά τινα.

## ΕΚ ΤΗΣ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.

ΑΛΕΞΑΝΔΡΟΣ[1], θεασάμενος τὴν ἐν Ἐφέσῳ[2] εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ[3] γραφεῖσαν, οὐκ ἐπῄνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος[4]. Εἰσαχθέντος δὲ τοῦ ἵππου[5], καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον, Ὦ βασιλεῦ, εἶπεν ὁ Ἀπελλῆς, ἀλλ' ὅγε ἵππος ἔοικε[6] σοῦ γραφικώτερος[7] εἶναι κατὰ πολύ.

Γοργίας ὁ Λεοντῖνος[8], ἐπὶ τέρματι[9] ὢν τοῦ βίου, καὶ γεγηρακὼς[10] εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς[11], κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων[12] ἐπισκοπούμενος, καὶ ἤρετο, τί πράττοι[13]; ὁ Γοργίας ἔφη· Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ θανάτῳ.

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ[14], σπουδάζοντι πρὸς τοὺς ἑταίρους[15], προσελθὼν ἔφη, τεθνηκέναι[16] οἱ[17] τοὺς δύο παῖδας[18], οὕσπερ οὖν[19] καὶ εἶχε μόνους ὁ Ἀναξαγόρας. Ὁ δὲ, μηδὲν διαταραχθεὶς, εἶπεν· Ἤδειν[20] θνητοὺς γεγεννηκὼς[21].

Ἐπανῄει[22] ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμιστοκλῆς. Εἶτα προσιόντος[23] Πεισιστράτου[24], ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ, μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ, προσάγοντος[25] τοῦ τυράννου. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο· Αὕτη γὰρ[26] (εἶπεν) αὐτῷ οὐχ ἱκανὴ ὁδός; Οὕτως ἄρα εὐγενές τι[27] καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιστοκλεῖ[28] καὶ ἐξ ἐκείνου[29].

Ὁρῶν ὁ Σωκράτης[30] τὸν Ἀλκιβιάδην[31] τετυφωμένον ἐπὶ τῷ πλούτῳ[32], καὶ μέγα φρονοῦντα[33] ἐπὶ τοῖς ἀγροῖς[32], ἤγαγεν αὐτὸν εἴς τινα τόπον, ἔνθα ἀνέκειτο πινάκιον[34] ἔχον γῆς περίοδον[35], καὶ προσέταξε τὴν Ἀττικὴν ἐν-

1) Ὁ Μέγας. 2) Πόλις τῆς Μικρᾶς Ἀσίας. 3) Περίφημος ζωγράφος ἀπὸ τὴν νῆσον Κῶν ἢ τὴν Ἔφεσον. 4) Τῆς ζωγραφίας. 5) Τοῦ ἵππου τοῦ Ἀλεξάνδρου. 6) Ἔοικα, παρακείμενος ἀντὶ ἐνεστῶτος. Λ. Σ. 7) Σοῦ γραφικώτερος. Ἐννοεῖ τὴν ζωγραφίαν καλήτερα ἀπὸ σέ.

8) Ῥήτωρ τῆς Σικελίας, διδάσκαλος τοῦ Ἰσοκράτους. 9) Πλησίον εἰς τὸ τέλος. Κ. §. 458, Ἐπὶ, 6΄. 10) Γηράσκω. 11) Καταλαμβάνω. 12) Σχετικὸς Λ. Σ. 13) Κ. §. 400.

14) Φιλόσοφος ἐκ Κλαζομενῶν τῆς Μικρᾶς Ἀσίας, φίλος τοῦ Περικλέους, κατηγορηθεὶς ὑπὸ τῶν ἱερέων ὡς ἄθεος. 15) Ἀσχολούμενον περὶ τοὺς φίλους του. 16) Θνήσκω.

17) Αὐτῷ. Λ. Σ. 18) Κ. §. 411. 19) Κ. §. 463. Οὖν. 20) Ὑπερσυντ. τοῦ Οἶδα. Γ. 478. 21) Γεννῶ. 22) Ἐπάνειμι. 23) Πρόσειμι. 24) Ὁ τύραννος τῶν Ἀθηναίων.

25) Ἀμετάβ. Λ. Σ. 26) Κ. §. 463, γάρ. 27) Ὑπενν. αἴσθημα. 28) Ἀντί: ἐφαίνετο ἐν τῷ Θ. 29) Ὑπενν. τοῦ συμβάντος. 30) Ὁ σοφὸς Ἀθηναῖος. 31) Ὁ γνωστὸς στρατηγὸς μαθητὴς τοῦ Σωκράτους. 32) Κ. §. 458. Ἐπὶ, 6΄. 3). 33) Μεγαλοφρανοῦντα.

34) Χάρτης γεωγραφικός. 35) Περιγραφή. Λ. Σ.